Ακαδημία Αθηνών / Academy of Athens

γόρας 9.5 *ἀλλὰ π ά ν τ ω ς πολλαπλασίως ταχύ ἐστι.* || **πάντη πάντως.** Βλ. **πάντη**.

**παπταίνειν.** Προσβλέπω/ἀτενίζω, look fixedly on/gaze steadily, Παρμενίδης 15 *αἰεὶ π α π τ α ί ν ο υ σ α πρὸς αὐγὰς ἠελίοιο.*

**παραβάλλειν.** Παραβάλλω/συγκρίνω, compare, Δημόκριτος 191.19 *π α ρ α β ά λ λ ο ν τ α τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων.*

**παράγγελμα.** Παράγγελμα/δίδαγμα, precept/instruction, Δημόκριτος 208 *πατρὸς σωφροσύνη μέγιστον τέκνοις π α ρ ά γ γ ε λ μ α.*

**παραγί(γ)νεσθαι.** Ἔρχομαι/ἐπισυμβαίνω, come/occur, Δημόκριτος 108 *διζημένοισι τἀγαθὰ μόλις π α ρ α γ ί ν ε τ α ι, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισιν.* || Ἀρχύτας 1.25 *τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ π α ρ α γ ί ν ε τ α ι καὶ ⟨ἰσχυρῶς⟩, ὀξέα φαίνεται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**παραδιδόναι.** Παραδίδω/κληροδοτῶ, hand over/bequeath, Ἀρχύτας 1.6 *περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δυσίων π α ρ έ δ ω κ α ν ἁμῖν σαφῆ διάγνωσιν καὶ περὶ γαμετρίας καὶ ἀριθμῶν καὶ σφαιρικᾶς.*

**παραδύεσθαι.** Εἰσδύω/εἰσχωρῶ, penetrate/enter into, Ἀρχύτας 1.21 *οὐ γὰρ π α ρ α δ ύ ε σ θ α ι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων, ὥσπερ οὐδ' ἐς τὰ σύστομα τῶν τευχέων, ὄκκα πολύ τις ἐγχέῃ, οὐδὲν ἐγχεῖται.* Πρβλ. *ἐγκαταβυσσοῦσθαι, εἰσκρίνεσθαι.*

**παρακαταθήκη.** Παρακαταθήκη, deposit, Δημόκριτος 265.3 *ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς π α ρ α κ α τ α θ ή κ α ς ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα.*

**παράλογα** (τά). Τὰ παράλογα/παράδοξα, unreasonable/paradoxical (things), Δημόκριτος Α 99a (DK II 108,20) *τὸν αὐτὸν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ